λαρτίου διογένους, βίοι καὶ γνῶμαι τῶν ἐν φι
λοσοφίᾳ εὐδοκιμησάντων. καὶ τῶν ἐν ἑκάστῃ
αἱρέσει ἀρεσκόντων, τῶν εἰς δέκα τὸ πρῶτον:

Τὸ τῆς φιλοσοφίας ἔργον ἔνιοι φασὶν, ἀπὸ βαρβάρων
ἄρξαι. γεγενῆσθαι γὰρ παρὰ μὲν πέρσαις, μάγους.
παρὰ δὲ βαβυλωνίοις ἢ ἀσυρίοις, χαλδαίους. καὶ
γυμνοσοφιστὰς παρ᾽ ἰνδοῖς. παρά τε κελτοῖς
καὶ γαλάταις, τοὺς καλουμένους δρυΐδας. καὶ σε
μνοθέους. καθά φησιν ἀριστοτέλης ἐν τῷ μα
γικῷ. καὶ σωτίων ἐν τῷ εἰκοστῷ τρίτῳ τῆς διαδοχῆς.
φοίνικά τε γενέσθαι, ὦχον. καὶ θρᾷκα, ζάμολξιν.
καὶ λίβυν, ἄτλαντα. αἰγύπτιοι μὲν γὰρ, νείλου γε
νέσθαι παῖδα ἥφαιστον. ὃν ἄρξαι φιλοσοφίας.
ἧς τοὺς προεστῶτας, ἱερέας εἶναι καὶ προφήτας.
ἀπὸ δὲ τούτου, εἰς ἀλέξανδρον τὸν μακεδόνα,
ἐτῶν εἶναι μυριάδας τέσσαρας καὶ ὀκτακισχίλια
ὀκτακόσια ἑξήκοντα τρία. ἐν οἷς ἡλίου μὲν ἐκλείψεις
γενέσθαι, τριακοσίας ἑβδομήκοντα τρεῖς. σελήνης δὲ,
ὀκτακοσίας τριάκοντα δύο. ἀπὸ δὲ τῶν μάγων,
ὧν ἄρξαι ζωροάστρην τὸν πέρσην, ἑρμόδωρος μὲν
ὁ πλατωνικός, ἐν τῷ περὶ μαθημάτων, φησὶν
εἰς τὴν τροίας ἅλωσιν ἔτη γεγονέναι πεντακισχίλια.
ξάνθος δὲ ὁ λυδὸς εἰς τὴν ξέρξου διάβασιν ἀπὸ
τοῦ ζωροάστρου, ἑξακόσιά φησι. καὶ μετ᾽ αὐτὸν
γεγονέναι πολλούς τινας μάγους κατὰ διαδοχὴν,
ὀστάνας καὶ ἀστραψύχους. καὶ γωβρύας. καὶ παζάτας.

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
The Polonsky Foundation
© Biblioteca Apostolica Vaticana
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_261/0013